Ἰσιδώρου τοῦ Πηλουσιώτου. «Καταρᾶται μὲν τὴν συκῆν ὁ Χριστὸς f 181v ἵνα δείξῃ τοῖς Ἰουδαίοις ὅτι κολάζειν δύναται. Ἐξηράνθη οὖν τὸ ξύλον, ἵνα φοβίσῃ ἀνθρώπους· ἅμα δέ τις τούτῳ καὶ ἀπόρρητος συμπλέκεται λόγος παρὰ γερόντων σοφῶν εἰς ἡμᾶς διαφοιτήσας, ὅτι τὸ ξύλον τῆς παραβάσεως τοῦτο ἦν, οὗ τοῖς φύλλοις παραβάντες εἰς σκέπην ἐχρήσαντο καὶ κατηράσθη ὑπὸ Χριστοῦ φιλανθρώπως, εἰς τὸ μηκέτι καρπὸν ἐνεγκεῖν αἴτιον ἁμαρτίας».

Θεοφίλου Ἀλεξανδρείας. «Τὸ οὖν ἔτι ἐκ τῆς γῆς εἰποῦσα καὶ τὸ κατὰ ἀνατολὰς σαφῶς διδάσκει ἡμᾶς ἡ Γραφή, οὕτω τὸν παράδεισον ὑπὸ τοῦτον τὸν οὐρανόν, ὑφ' ὃν καὶ ἡ ἀνατολὴ καὶ γῆ δῆλον ὅτι· ἑβραϊστὶ δὲ τὸ Ἐδὲμ λέγεται τρυφή. Μέσος οὖν ὁ ἄνθρωπος τῶν δύο ἐγεγόνει· οὔτε θνητὸς ὁλοσχερῶς, οὔτε ἀθάνατος καθόλου, δεκτικὸς δὲ ἑκατέρου. Οὕτω καὶ ὁ παράδεισος ὡς πρὸς τὴν καλλονὴν μέσον τοῦ οὐρανοῦ καὶ τοῦ κόσμου γεγένηται».

Ἐπιφανίου Κύπρου. «Εἰ τοίνυν οὐκ ἔστι αἰσθητὸς παράδεισος ἐπὶ τῆς γῆς, πάντως οὐδὲ πηγή, οὐδὲ ποταμός, οὐδὲ τέσσαρες ἀρχαί, οὐδὲ συκῆ, οὐδὲ ξύλον. Εἰ οὐκ ἔνι ξύλον, οὐκ ἔνι Εὔα ἡ φαγοῦσα ἐξ αὐτοῦ οὐδὲ Ἀδάμ. Εἰ οὐκ ἔνι Ἀδάμ, οὐκ εἰσὶ ἄνθρωποι. Ἀλλὰ μῦθος λοιπὸν ἡ ἀλήθεια καὶ ἀλληγορεῖται πάντα κατὰ τὸν θεήλατον Ὠριγένην».

Ἀκακίου Καισαρείας. «Οὐκ οἶμαι δὲ ἀμφιβάλλειν οὐδὲ τὸν ἀγνωμονέστερον, ὡς αἰσθητὸς ὑπῆρξε παράδεισος, τῶν τεσσάρων ποταμῶν αἰσθητῶν ὑπαρχόντων, ἅτε καὶ τοῖς ὀφθαλμοῖς ὁρωμένων καὶ αὐτοῖς τοῖς ὀνόμασι καλουμένων. Εἰ δὲ οὗτοι αἰσθητοί, δῆλον ὅτι καὶ ὁ ἐκπορευόμενος ἐξ Ἐδέμ, ὅθεν ἀφωρίσθησαν. Εἰ δὲ καὶ αὐτὸς αἰθητὸς ὁ ποτίζων τὸν παράδεισον, τὶς ἔτι μηχανὴ ὑπολειφθείη, μὴ καὶ αὐτὸν τὸν ποτιζόμενον αἰσθητὸν ὑπάρχειν; Εἰ δὲ ὁ παράδεισος αἰσθητός, δῆλον ὅτι καὶ τὰ φυτά ‖ f 181r. Εἰ δὲ ταῦτα, καὶ τὸ ξύλον ἄρα τῆς ζωῆς, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. Κατασκευαστέον δὲ αἰσθητὸν εἶναι τὸν παράδεισον καὶ ἐκ τοῦ περὶ Σοδόμων εἰρημένου. Ὡς ἄρα ἦν ὁ παράδεισος τοῦ Θεοῦ, οὐκ ἂν γὰρ τὸ αἰσθητὸν τῶν νοητῶν παρεβάλλετο, ὥσπερ οὖν οὐκ ἂν εἴποι τὶς ὡραῖόν ἐστι τόδε τὸ σῶμα ὡς ψυχή. Οὐ δεῖ δὲ θαυμάζειν, εἰ διὰ τῶν αἰσθητῶν ξύλων ἀθανασία τοῖς ἀνθρώποις ἐγένετο καὶ γνῶσις καλοῦ καὶ πονηροῦ, ὁπότε καὶ διὰ τοῦ αἰσθητοῦ ὕδατος ἄφεσις ἁμαρτιῶν γίνεται, καὶ ἄρτος αἰσθητὸς καὶ οἶνος ἁγιάζει τοὺς μεταλαμβάνοντας αὐτῶν. Ἴδοι δέ τις καὶ αἰσθητοῦ φαρμάκου, εἰ καὶ μὴ ζωήν, ἀλλὰ θάνατον ἐγγινόμενον. Ὅθεν οὐκ ἀπιστήσει τις καὶ ζωῆς αἰσθητῆς αἰσθητὸν ὑπῆρχθαι

15) Ἀγκυρ. 58, Migne PG. 43, 117. 120. Πρβλ. καὶ 89, 54

τὸ ξύλον ποτέ, οὗ διὰ τὴν παράβασιν μεταλαβεῖν οὐκ ἠξιώθησαν. Ὥσπερ δὲ θανάτου εἰσὶ τρόποι δύο, ὁ μὲν ψυχῆς ὁ δὲ σώματος, οὕτω καὶ ζωῆς ὁμοίως. Καὶ τάχα τὸ μὲν νοητὸν ξύλον τῆς ζωῆς τῇ ψυχῇ τὴν ἀθανασίαν παρέχει, τὸ δὲ αἰσθητὸν τῷ σώματι».

Ἐκ τῶν ποιητῶν. «Ὁ τῇ χειρί σου πλάσας τὸν Ἀδὰμ καὶ στήσας μεθόριον ἀφθαρσίας καὶ θνητότητος, Σωτήρ, καὶ τῆς ἐν χάριτι ζωῆς. Κατακοσμήσας τὰ πάντα ζῷον μικτὸν μέσόν με τὸν ἄνθρωπον ταπεινότητος ὁμοῦ καὶ μεγέθους ἔπλασας, Σωτήρ. Διὰ βρώσεως ἐξήγαγε τοῦ παραδείσου ὁ ἐχθρὸς τὸν Ἀδάμ».

Ἐπίλογος. Ἰστέον, ὅτι τινὲς μὲν τῶν Πατέρων θνητόν, τινὲς δὲ ἀθάνατόν φασι πλαστουργηθῆναι τὸν Ἀδάμ. Τοῦτο δέ φασι διὰ τὸ δεκτικὸν εἶναι παρὰ μέρος ἀμφοτέρων, θνητότητος καὶ ἀθανασίας, διὰ τὸ αὐτεξούσιόν τε καὶ σύνθετον.

---

## IX

## ΕΙ ΕΚ ΘΕΟΥ Ο ΘΑΝΑΤΟΣ ΚΑΙ ΠΩΣ ΕΙΣΗΛΘΕ, ΚΑΙ ΕΙ ΟΡΟΣ ΖΩΗΣ ΚΑΙ ΠΩΣ ΤΙΝΕΣ ΜΕΝ ΜΑΚΡΟΗΜΕΡΕΥΟΥΣΙ, ΤΙΝΕΣ ΔΕ ΤΟ ΑΝΑΠΑΛΙΝ

f.164v Ὁ Θεὸς θάνατον οὐκ ἐποίησε, κατὰ τὴν Γραφήν, οὐδὲ τέρπεται ἐπ' ἀπωλείᾳ ζώντων, ἐπεὶ ἀγαθός· ἀγαθοῦ γὰρ τὸ παράγειν καὶ σῴζειν, κατὰ τὸν μέγαν Διονύσιον, ὥσπερ δήπου κακοῦ τὸ φθείρειν καὶ ἀπολλύειν. Πόθεν οὖν ὁ θάνατος, εἴποι τίς ἄν; Ἐξ οὐδενός. Ἆρα ἀγένητος; Οὔτε ἀγένητος, οὔτε γενητός. Ἐπεὶ οὐδὲν ἐστιν, ἀλλ' ἢ ἀνυπαρξία καὶ τοῦ ζῴου ἀνάλυσις εἰς τὰ ἐξ ὧν συνετέθη. Πόθεν οὖν ταῦτα συνέβη ἐν τῷ ἀνθρώπῳ; Ἐκ τοῦ ὑπὸ χρόνον εἶναι. Τὰ γὰρ ἀΐδια τὰ αὐτὰ ἐσαεὶ διαμένει, ὡς μήτε ἀρχὴν ἔχοντα τοῦ εἶναι καὶ κατὰ τοῦτο μηδὲ τέλος. Τὰ δὲ ἐκ Θεοῦ ἔχοντα τὴν παραγωγήν, τὰ μὲν ὡς λογικὰ καὶ ἁπλᾶ καὶ αὐτῷ οἰκεῖα, οἰκείως καὶ καταλλήλως ἔσχον ἐξ αὐτοῦ τὴν ἐσαεὶ διαμονήν. Τὰ δὲ ὡς ἀναίσθητα καὶ πόρρω που τῆς θείας ἐμφερείας, ὡρισμένην ἔσχον τὴν διαμονήν· καὶ τὰ μὲν αὐτῶν ἀλλοιωθήσεται, τὰ δὲ πάντῃ φθαρήσεται, ὡς οὐ δι' ἑαυτὰ γενόμενα, ἀλλὰ δι' ἕτερον. Ἄνθρωπος δὲ μέσος τούτων ὑπάρχων, ἔκ τε τῆς λογικῆς καὶ ἀναισθήτου οὐσίας, οὔτε ὡρισμένην ἔσχε τὴν διαμονήν, οὔτε μὴν ἔμπεδον. Ἔδει γοῦν καὶ τοῦτον ἓν ἐκ τῶν δύο κληρώσασθαι. ||
f.165r Ἀλλὰ τῷ μὲν τὴν ψυχὴν συμφθαρῆναι τῷ σώματι ἀνοίκειον, ὡς ἁπλου-

[14]) Κώδ. Ναν. 127 f. 164v—166v.

στάτην, τῷ δὲ τὸ σῶμα συμπαραμένειν τῇ ψυχῇ, καὶ τοῦτο οὐκ εὔλογον, ὡς σύνθετον. Ἐχρῆν οὖν εἶναί τινα τὴν ἀφορμήν, ὥστε τὸ χεῖρον ἕψεσθαι τῷ κρείττονι, οὐ τὸ ἔμπαλιν. Τί οὖν ὁ πανάγαθος Θεὸς οἰκονομεῖ; Δίδωσι τῷ ἀνθρώπῳ νόμον ῥᾴδιον μὲν εἰς τὸ ἐξεργασθῆναι, τῆς σπουδῆς δὲ μόνης δεόμενον τοῦ ἀνθρώπου, ἵνα τῇ τούτου τηρήσει, ἀρετῆς ὥσπερ ἔπαθλον τὴν ἀθανασίαν κομίσηται, καθὼς ἐν τῇ ἱερᾷ μυσταγωγίᾳ τῶν Ἀποστολικῶν διατάξεων ἐν μιᾷ τῶν εὐχῶν φέρεται, ἔχει δὲ ὧδε: «Σὺ γάρ, Θεὲ παντοκράτορ, διὰ Χριστοῦ παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς ἐφύτευσας παντοίων φυτῶν ἐδωδίμων κόσμῳ, καὶ ἐν αὐτῷ ὡς ἂν ἐν ἑστίᾳ πολυτελεῖ εἰσήγαγες αὐτόν. Καὶ τὸ ποιεῖν νόμον δέδωκας αὐτῷ ἔμφυτον, ὅπως οἴκοθεν παρ' ἑαυτοῦ ἔχοι τὰ σπέρματα τῆς θεογνωσίας. Εἰσαγαγὼν δὲ εἰς τὸν τῆς τρυφῆς παράδεισον, πάντων μὲν ἀφῆκας αὐτῷ τὴν ἐξουσίαν πρὸς μετάληψιν, ἑνὸς δὲ μόνου τὴν γεῦσιν ἀπεῖπας, ἐπ' ἐλπίδι κρειττόνων, ἵν' ἐὰν φυλάξῃ τὴν ἐντολήν, μισθὸν ταύτης τὴν ἀθανασίαν κομίσηται». Ἐντεῦθεν οὖν τὴν ἀφορμήν, ὡς ἔοικε, λαβὼν ὁ οὐρανοφάντωρ Βασίλειος ἐν τῇ ἱερουργίᾳ τῆς θείας Λειτουργίας τάδέ φησι. «Πλάσας τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ εἰκόνι τῇ σῇ, ὁ Θεός, τιμήσας, τέθεικας αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἀθανασίαν ζωῆς καὶ ἀπόλαυσιν αἰωνίων ἀγαθῶν ἐν τῇ τηρήσει τῶν ἐντολῶν σου ἐπαγγειλάμενος αὐτῷ». Μήπως δὲ καὶ αἰώνια ἀγαθὰ οὗτος τὰ οὐράνιά φησιν, ἅπερ ἔμελλε λαβεῖν πρὸς τοῖς δωρηθεῖσιν ἀπὸ Θεοῦ ὁ ἄνθρωπος τῇ τηρήσει τῆς ἐντολῆς, ὥς φησιν ὁ μέγας Ἀθανάσιος ἐν τῷ περὶ || τῆς ἐνσάρκου f 165v
τοῦ Χριστοῦ οἰκονομίας λόγῳ. Κατάλληλον γὰρ ἦν τὸ χωρίον, ὁ παράδεισός φημι, τῆς τοῦ Ἀδὰμ καταστάσεως, καὶ μέσον πως τῶν παρ' ἡμῖν παραδείσων καὶ τῶν οὐρανίων ἀγαθῶν, ὡς αὐτός φησιν Ἀθανάσιος ἐν ταῖς πρὸς Ἀντίοχον ἀποκρίσεσι καὶ ὁ Δαμασκηνὸς Ἰωάννης νοεῖ. Εἰ οὖν τελειοτέρας ἔμελλε τυχεῖν τῆς ἕξεως ὁ ἄνθρωπος, ἀναλόγου πάντως καὶ τῆς διαγωγῆς. Ὁ πρῶτος οὖν ἐκεῖνος ἄνθρωπος, εἰ καὶ τἄλλα σοφός, ἀλλ' οὖν ἀπείραστος ὢν κακῶν, ἠπατήθη ὑπὸ τοῦ πονηροῦ δαίμονος καὶ παραβάτης γέγονε τῆς ἐντολῆς τοῦ Θεοῦ καὶ θνητὸς κατὰ τὴν θείαν προμαρτυρίαν γίνεται, τοῦ παραδείσου ἐκβληθείς, εἰ καὶ τὴν ὁρμὴν τοῦ θανάτου δι' οἰκείαν ἀγαθότητα ὁ Κύριος κατ' ἀρχὰς ἀνέστειλεν, ἵνα μὴ ἐγκαυχήσηται ὁ ἀντικείμενος ὡς τοιοῦτον ἔργον κατά τε τοῦ δημιουργοῦ καὶ τοῦ πλάσματος αὐτοῦ ἐξανύσας. Καὶ ἡ μὲν θεία ἐντολή, ὡς εἴρηται, πρὸς τὸ ἀθάνατον γενέσθαι τὸν ἄνθρωπον ἔρρεπεν, οὐκ εἰς τὸ θνητόν. Οὐδὲ γὰρ ἰατρός, προλέγων τῷ νοσοῦντι τὴν ἐκ τοῦ βρώματος βλάβην, αὐτὸς αἴτιος τῆς

[17]) Εὐχολόγιον τὸ μέγα, Ἀθῆναι 1902 σ. 93

Ε.Υ.Δ.-Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

βλάβης, εἰ παρίδοι ὁ νοσῶν, γίνεται· ἀλλ' ἡ μὲν πρόνοια, τοῦ ἰατροῦ, ἡ δὲ ἀμέλεια, τοῦ ἀρρωστοῦντος. Οὕτως οὖν ὁ Θεὸς βουλόμενος διὰ τῆς τοῦ ἀνθρώπου αὐτεξουσιότητος ποιῆσαι αὐτὸν πάντῃ ἀθάνατόν τε καὶ ἄφθαρτον, οὐκ εἶχε συναιρόμενον, ἀλλὰ μᾶλλον ἐναντιούμενον. Ἐντεῦθεν οὖν, ὡς εἴρηται, τὴν ἀφορμὴν οἰκείως ἔσχεν ὁ θάνατος ἐν τῇ φύσει. Καὶ τῇ αὐτῇ ἡμέρᾳ, ἧπερ τὴν ἐντολὴν παρέβη, ἀπέθα-
f 166r νεν ἂν ὁ ἄνθρωπος, εἰ μὴ οἰκτειρήσας αὐτόν, ὡς δι' ἀπάτης || καὶ ἡδονῆς ὀλισθήσαντα, ἰσχὺν ἐδεδώκει ὁ Πλάστης τῇ θνητῇ φύσει κατακρατεῖν τοῦ θανάτου μέχρι καιροῦ. Ἀλλὰ πρὸ μὲν τοῦ κατακλυσμοῦ καὶ ἐγγὺς τῶν χιλίων ἐτῶν ἔζων οἱ ἄνθρωποι, ἵνα τῷ μακροβίῳ εἰς πληθυσμὸν ἐπιδώσωσιν. Εἰ γὰρ βραχὺς ὁ βίος ἐξ ἀρχῆς, ὡς νῦν ἐν ἡμῖν, οὐκ ἂν ἐκ μιᾶς συζυγίας ἐπληθύνθη ὁ κόσμος. Μετὰ δὲ τὸν κατακλυσμόν, ὡς πλειόνων ὄντων τῶν διασωθέντων, εὐθὺς συγχωρήσει Θεοῦ τέμνεται τὸ πολὺ τῆς ζωῆς, καὶ τοσούτῳ, ὅσῳ μᾶλλον τὸ γένος τῶν ἀνθρώπων ἐπληθύνετο, ὥστε ἐν τῷ τοῦ βασιλέως καὶ προφήτου Δαυῒδ χρόνῳ εἰς ὀγδοήκοντα ἐτῶν περίοδον περιστῆναι μόλις τὴν τῶν ἀνθρώπων βιοτήν, ὥστε μόνον ἵνα τῇ μετὰ ταῦτα τῶν ἀνθρώπων γενέσει τὸν θάνατον μὴ ἐξισχύειν ἀπολέσαι τὸ γένος. Καὶ κατὰ τοῦτο χρὴ ἡμᾶς εἰδέναι, ὅτι τὸ μὲν ζῆν κἄν τε πολὺ κἄν τε ὀλίγον ἐκ Θεοῦ ἔχομεν· τὸ δὲ ἀποθνήσκειν ἐξ ἰδίας ἀμελείας προσπεφυκὸς τῇ φύσει. Ἔσθ' ὅτε καὶ ἐξ ἀρετῆς ἢ κακίας ἤ τινος ἄλλης θείας οἰκονομίας τὸν μὲν μακροημερεύειν, τὸν δὲ βραχυβιοῦν. Κἀνταῦθα τὸ μὲν μακρόβιον ἐκ Θεοῦ, τὸ δὲ βραχύβιον τῆς φύσεως· καὶ οὕτως ἀναλόγως ἐπὶ πάντων δεῖ νοεῖν. Εἰ οὖν οὕτως ἔχει τὰ καθ' ἡμᾶς, οὐχ ὅρος ἄρα ζωῆς. Ἐπεὶ πῶς τῆς αὐτῆς φύσεως οὔσης ὁ μὲν ἐγγὺς τῶν χιλίων ἐτῶν ἔφθασεν, ὁ δὲ τὰ πεντακόσια, ὁ δὲ τὰ διακόσια, ὁ δὲ τὰ ἑκατόν, ὁ δὲ τὰ πεντήκοντα, ὁ δὲ τὸ φῶς οὐκ ἔφθασεν ἰδεῖν; Δῆλον οὖν ὅτι ὁ μὲν θάνα-
f 166v τος οἰκεῖος || τῇ βροτείᾳ φύσει, ἡ δὲ ζωὴ ἐκ τῆς θείας ἀγαθότητος, καὶ μᾶλλον ἡ μέλλουσα ἀναγέννησις καὶ ἀθανασία. Τὸ δὲ λέγειν τὴν θείαν Γραφήν, Κύριος θανατοῖ καὶ ζωογονεῖ, τὸ μὲν κατὰ συγχώρησιν δεῖ νοεῖν, τὸ δὲ κατὰ ἀγαθότητα. Τοιοῦτον δεῖ νοεῖν καὶ τὸ «μὴ συνελκύσῃς μετὰ ἁμαρτωλῶν τὴν ψυχήν μου» καὶ «μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας» καὶ τὰ τοιαῦτα, ἀντὶ τοῦ μὴ ἐάσῃς τὸ καὶ τὸ γενέσθαι. Ἀλλὰ πῶς, φησίν, εἰ οὐκ ἐκ Θεοῦ ὁ θάνατος, τοὺς μὲν ἐπὶ Νῶε ὕδατι ἔφθειρε, τοὺς δὲ Σοδομίτας πυρὶ καὶ θείῳ ἀπώλεσε καὶ τὴν τοῦ Λὼτ σύζυγον ἀπελίθωσε, καὶ πῶς τοῦτο οὐ σφόδρα ἠλίθιον, τὸ διὰ τοιούτων οἴεσθαι τὸν Θεὸν φθείρειν τοὺς πταίοντας, τὸν μόνῳ

[1]) εἰ παρίδειεν N. 127.

Ε.Υ.Ζ.Σ. Κ.τ.ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

νεύματι δυνάμενον ἅπαντας ἀφανισμῷ παραδοῦναι; Ἀλλὰ τὸν μὲν ὑετὸν εἰς καθαρμὸν τῆς γῆς ἐκ τῶν μιασμάτων τῶν παρανομούντων ἐπήγαγε, τὸ δὲ πῦρ καὶ τὸ θεῖον ἄλλοτε εἰς δεῖγμα τῆς μοχθηρίας τῶν οἰκούντων τῷ τόπῳ καὶ πιστώσει τῆς ἑπομένης κολάσεως, τὴν δὲ γυναῖκα εἰς στήλην ἁλὸς μετέβαλεν εἰς σωφρονισμὸν τῶν λοιπῶν. Ὥσπερ οὖν οὐκ αἴτιος ἡμῖν ὁ Θεὸς τοῦ τοιούτου προσκαίρου θανάτου, οὕτως οὐδὲ τοῦ διαιωνίζοντος. Οἱ γὰρ ἁμαρτάνοντες ἐνταῦθα, τοῦ Θεοῦ χωριζόμενοι, κἀκεῖ δικαίως τούτου μακρὰν ἐκπέμπονται, ὡς ὁ ἱερομάρτυς αὖθις Διονύσιος ἐν τῇ εἰς τὸν Ἰωάννην τὸν Θεολόγον ἐπιστολῇ μαρτυρεῖ.

---

## X.

## ΠΡΟΣ ΔΙΟΝΥΣΙΟΝ ΙΕΡΟΜΟΝΑΧΟΝ ΤΟΝ ΑΝΑΧΩΡΗΤΗΝ

Εἶπας, δέσποτά μου ἅγιε, ὅτι οὐκ ὤφειλον περὶ ἀρρώστων ἐξαιρέ- f 160v
τως ἀποφῆναι γίνεσθαι τὰ εὐχέλαια· ἐπεὶ φής, ὅτι καὶ ἐπὶ τοῖς μὴ τοιούτοις, ἀρρωστίᾳ δέ τινι ψυχικῇ κατεχομένοις, εἰώθαμεν ταῦτα ἐπιτελεῖν, καὶ ἵνα μὴ πρόφασιν δῶμεν τοῖς Λατινόφροσιν, ἐν τοῖς ἐπιθανέσι ταῦτα ἐπιτελοῦσιν.

Ἀλλ' ἴσθ' ὅτι ὁ ἐμὸς σκοπὸς οὐχ ὑπῆρχεν ὥστε περὶ εὐχελαίου διαλέγεσθαι, ὡς δήπου καὶ αὐτὴ ἡ τοῦ λόγου ὑπόθεσις δηλοῖ. Ἀλλ' ἐμπεσόντος τοῦ ἀποστολικοῦ ῥητοῦ ἐν τῇ ὁμιλίᾳ, ἐπιδρομάδην τὴν τούτου διάνοιαν ἐξ ἀνάγκης διεσάφησα. Ἄλλως τε καὶ τὰ εὐχέλαια, ὥς φησιν ὁ Ἀπόστολος Ἰάκωβος, προηγουμένως μὲν διὰ τοὺς ἀσθενεῖς δεῖ ἐκπληροῦσθαι· «ἀσθενεῖ, γάρ φησι, τὶς ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας» καὶ τὰ ἑξῆς· τὸ δὲ «κἂν ἁμαρτίας ᾖ πεποιηκώς, ἀφεθήσεται αὐτῷ», ἀμφιβόλως ἐνταῦθα καὶ καθ' ὑπόνοιαν τέθεικε, τοῦτο δηλοῦντος τοῦ «κἂν» συνδέσμου. Ἐπεὶ οἶδεν, ὅτι πολλάκις καὶ δι' ἁμαρτίας ἐπάγονται νόσοι, ὥς φησιν ὁ Ἀπόστολος

5) σχόλιον ἐν τῇ ᾤᾳ: δοκεῖ μοι ὅτι ὥσπερ ἡ χεὶρ μετὰ ταῦτα τοῦ Μωϋσέως κατὰ τὴν ἐπιφάνειαν λεπρωθεῖσα μετεστράφη εἰς τὴν προτέραν ποιότητα, οὕτω καὶ τὴν τοῦ Λὼτ σύζυγον κατὰ τὴν ἐπιφάνειαν ἀλλοιωθεῖσαν εἰς δεῖγμα τῆς τιμωρίας μετελθεῖν αὖθις εἰς τὴν τῆς σαρκὸς ἰδιότητα, ἢ τάχα στήλη ἁλὸς ὁ νεκρὸς αὐτῆς ὠνόμασται διὰ τὸν χῶρον, ὥσπερ καὶ θάλασσα ἁλῶν καὶ φάραγξ.

12) Κῶδ. Ναν. 125 f. 160v—161r. 23) Ἰάκ. 5,14

26) δηλοῦν Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

f 161r Παῦλος, ‖ «παράδοτε αὐτὸν τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός, ἵνα τὸ πνεῦμα σωθῇ». Δῆλον δὲ τοῦτο καὶ ἐκ τοῦ Εὐαγγελίου λέγοντος, «καὶ ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους καὶ ἐθεράπευον». Καὶ γὰρ τὸ ἔλαιον ἐπ' ἀρρώστοις εἰώθαμεν προσφέρειν, οὐχὶ δὲ καὶ ὑπὲρ ἁμαρτιῶν. Ἕν γάρ ἐστι τὸ εἰς ἄφεσιν ἁμαρτιῶν διδόμενον βάπτισμα· ὥστε προσεκτέον. Ἐπεὶ δὲ καὶ εἴρηκας, ἵνα μὴ λαβὴν δῶμεν τοῖς ἐπὶ τοὺς θνήσκοντας ἢ καὶ ἤδη ἀποθανόντας τοῦτο τελοῦσι, σύνιδε τὶς ὁ διδοὺς τὴν λαβήν. Εἰ μὲν γὰρ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν γίνεται τὸ εὐχέλαιον, ὡς σὺ φῄς, οὐδὲν ἀπεικὸς καὶ ἐν τοῖς ἤδη τελευτήσασι τοῦτο πληροῦσθαι· καὶ γὰρ οὗτοι μάλιστα δέονται τοῦ ἐλέους. Εἰ δὲ ὑπὲρ ὑγείας σώματος, οὐδὲν ἐξήμαρτον αὐτός, καὶ τὸ ἀποστολικὸν ῥητὸν κυρώσας καὶ τοῖς σοῖς μὴ ἀντιτείνας.

---

## XI

## ΠΕΡΙ ΕΙΚΟΝΟΣ ΚΑΙ ΤΟΥ ΚΑΤ' ΕΙΚΟΝΑ. ΕΤΙ ΚΑΤΑ ΑΡΕΙΑΝΩΝ ΚΑΙ ΝΕΣΤΟΡΙΑΝΩΝ

f 151v Εἰκών ἐστιν εἴδους τινὸς χαρακτὴρ εἴτε ἐν ἑνί τινι εἴτε ἐν πολλοῖς ἀπαραλλάκτως θεωρούμενον. Κατ' εἰκόνα δὲ τὸ ἐμφερείας τινὰς ἔχον καὶ μιμήσεις καὶ οἷον ἐμφάσεις τοῦ εἴδους. Ὅθεν καὶ εἰκὼν μὲν τοῦ Θεοῦ ὁ μονογενὴς Υἱός, κατ' εἰκόνα δὲ καὶ ἐν εἰκόνι αὐτοῦ ὁ Ἀδὰμ καὶ κατ' εἰκόνα τοῦ Ἀδὰμ ὁ Σήθ, ὡς μὴ ἔχων ἀκριβῆ τὸν χαρακτῆρα τῆς ἰδέας τοῦ Ἀδάμ. Εἰκὸς γὰρ τὴν ῥευστὴν φύσιν ἐν πολλοῖς εἴδεσι θεωρεῖσθαι· ὅτι ἐπὶ μὲν τῶν ἀΰλων εἶδος, ταὐτὸν δ' εἰπεῖν μορφή, αὐτὴ ἡ φύσις, ἐπὶ δὲ τῶν ἐνύλων ἡ σωματικὴ ἐπιφάνεια. Διὸ καὶ ὑποστατικὴ μὲν εικὼν ἐπ' ἀνθρώπων, φυσικὴ δὲ ἐπὶ Θεοῦ λέγεται. Καὶ ἐπὶ μὲν τοῦ Θεοῦ ἐν αὐτῷ ἐστιν ἡ εἰκὼν αὐτοῦ, ἐκτὸς δὲ αὐτοῦ τὸ κατ' εἰκόνα, ἐπὶ δὲ ἀνθρώπων τὸ κατ' εἰκόνα μὲν πάντοτε χωρὶς αὐτῶν, ἡ δὲ εἰκὼν καὶ ἐν αὐτοῖς καὶ ἐκτὸς αὐτῶν. Καὶ ἐπὶ μὲν τῶν ἀνθρώπων ὑποκείμενον μὲν τὸ σῶμα, συμβεβηκὸς δὲ ἡ

1) Α' Κορ. 5,5  3) Μάρκ. 6,13.  18) Κῶδ. Ναν. 125 f. 151v—156r.

20) ἐν τῇ ῷᾳ: δῆλον ὅτι διαφέρει τὸ κατ' εἰκόνα καὶ ἐν εἰκόνι τῆς εἰκόνος, διαφέρει δὲ καὶ εἰκὼν τοῦ οὗ ἐστιν εἰκὼν ἢ κατὰ τὴν φύσιν ἢ κατὰ τὴν ὑπόστασιν· καθ' ὑποπόστασιν μὲν ὡς ἄνθρωπος ἀνθρώπου, κατὰ φύσιν δὲ ὡς ἡ χρωματιστή, διαφέρει δὲ καὶ εἰκὼν εἰκόνος κατ' ἀμφότερα.

9) ἀπεικῶς Ν

Ε.Υ.Δ της Ρ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

εἰκών, ἐπεὶ ἐνδέχεται μεταβάλλεσθαι καὶ εἰς ἄλλα μεταχωρεῖν. Ἐπὶ δὲ Θεοῦ ὑποκείμενον μὲν ὁ Πατήρ, δυνάμεις δὲ ὑφεστῶσαι καὶ ἀκίνητοι τὰ ἐξ αὐτοῦ, ἤτοι ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ὡς ἀνεκφοίτητα καὶ ἀμετάβλητα. Καὶ ἐπὶ μὲν τῶν ἀνθρώπων διάφοροι αἱ εἰκόνες κατὰ τὴν διαφορὰν τῶν ὑποστάσεων, ἐπὶ δὲ Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος μία κατὰ τὴν φύσιν, ὡς εἴρηται, καὶ ἕκαστον τῶν τριῶν εἰκών ἐστι τοῦ ἑτέρου ὡς ἐν τοῖς αὐτοῖς φυσικοῖς ἰδιώμασι γνωριζόμενα, καὶ κατὰ τοῦτο χαρακτὴρ καὶ εἰκὼν λέγεται τοῦ Πατρὸς ὁ Υἱός. Διὸ καὶ φησίν. «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα». Οἱ δὲ λέγοντες χαρακτῆρας τρεῖς ἐπὶ Θεοῦ, ἀντὶ τοῦ ὑποστάσεις νοοῦσιν, ὡς χαρακτηριζομένης τῆς φύσεως διὰ τῶν ὑποστάσεων. Ἀλλ' οὖν εἰ καὶ τρεῖς χαρακτῆρες, ἀλλ' ἑνὸς εἴδους, ἤγουν φύσεως, καὶ ἐκ τούτου εἰκὼν μία συνάγεται. Οἱ γοῦν ἀναιροῦντες τὰς ὑποστάσεις καὶ τὴν φύσιν συναναιροῦσιν, ὡς τῆς φύσεως γνωριζομένης ἐν ταῖς ὑποστάσεσι, τῶν δὲ ὑποστάσεων πεφυκυιῶν ἐν τῇ φύσει. Οὐδὲ γὰρ ταὐτὸν φύσις καὶ ὑπόστασις· εἰ καὶ Ἀδὰμ μία ὑπόστασις || ἐξ ἀρχῆς, ἀλλ' ἐν αὐτῷ δυνάμει f 152r
εἶχε πολλὰς ὑποστάσεις. Εἰ δὲ μὴ τοῦτο, ἀλλ' οὖν καὶ καθ' αὐτὸν ὁ ἄνθρωπος πολυμερής, καὶ δύναται κατὰ τοῦτο ἅπαντα τὰ μέρη εἰς μίαν φύσιν συνάγεσθαι, ὅπερ οὐκ ἄν ποτε τις καὶ τῶν πάνυ ἀσεβεστέρων ἐπὶ Θεοῦ νοήσαιεν. Οὔτε γὰρ ἐπίδοσις ἐπὶ Θεοῦ, οὔτε στέρησις, ῥευστῶν ταῦτα ἰδιώματα· οὔτε πολυμερής ἐστι, οὔτε μέρος, οὔτε ἐν μέρει, οὔτε τῇ κτίσει συναριθμηθήσεται ὁ κτίστης, ὁ ἀΐδιος τοῖς ὑπὸ χρόνον, οὔτε εἰς πλείονας εἰκόνας γνωρίζεται, ὅπερ τῶν μεριστῶν τε καὶ μερικῶν ἴδιον. Εἰ γὰρ καὶ μεριστὸς ταῖς ὑποστάσεσιν, ἀλλὰ τῇ ἐπινοίᾳ τῶν ἰδιοτήτων. Ἐπεὶ οὐδὲ εἶδος αἱ ὑποστάσεις, ἵνα μὴ ἐπάλληλα εἴδη ἐπ' αὐτοῦ νομισθεῖεν. Καὶ καθολικώτερον μὲν αἱ ὑποστάσεις ὡς εἶδος, ἡ φύσις δὲ εἰδικώτερον ὡς χαρακτήρ, ἤτουν ἰδίωμα. Καὶ ἄλλως· καθ' ἑαυτὰς μὲν αἱ ὑποστάσεις, ὡς αὐτοτελεῖς, οὐ καθ' ἑαυτὰς δέ, διὰ τὸ περιχωρεῖν ἐν ἀλλήλαις, καὶ ὅτι ἐν τῷ Πατρὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὴν ὕπαρξιν ἔχουσιν. Διὰ τοῦτο λέγεται μὴ δύνασθαι τὸν Υἱὸν ἀφ' ἑαυτοῦ τι ποιεῖν, ἐὰν μή τοι βλέπῃ τὸν Πατέρα. «Καὶ ὥσπερ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ»· καὶ ὅτι ζῇ διὰ τὸν Πατέρα, ἤτοι διὰ τὸ εἶναι ῥίζαν καὶ πυθμένα τῶν ἐξ αὐτοῦ, καὶ ὅτι δι' αὐτοῦ, ἤτοι τοῦ Υἱοῦ, τὰ πάντα ἐποίησεν, ὡς δι' ἐνουσίου δυνάμεως· ταύτῃ οὐδὲ ὁ Υἱὸς δύναται ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. Καὶ πῶς γάρ, ὡς ἔφην, ἀμερίστων ὄντων; Εἰ γὰρ ἐνεδέχετο καθ' ἑαυτὸ ἕκαστον ἐργάζεσθαι, πρόδηλον ὅτι καὶ τὰ

9) Ἰωάν. 14,9. 31) Ἰωάν. 5,26.

Ε.Υ.Δ. ος Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἔργα διάφορα ἢ καὶ ἐναντία. Καὶ πῶς μία ἐνέργεια τηρηθήσεται ἐπὶ τῆς ἁπλῆς καὶ ἑνιαίας φύσεως; Οὐχ ὡς ἀδυνατοῦντος τοίνυν ἑκάστου τῶν τριῶν προσώπων οὐκ ἐργάζεται ἰδίως ἕκαστον, ἀλλ' ὡς ἐν αὐτοῖς, ὡς ἔφην, μιᾶς οὔσης τῆς βουλῆς καὶ ἐνεργείας, ἤτοι τῆς φυσικῆς κινήσεως, καὶ ἵνα μὴ ἀταξία ἐπὶ τῆς Ἁγίας Τριάδος συμβῇ, τῆς τὰ πάντα εὐφυῶς καὶ εὐτάκτως παραγαγούσης. Ταύτῃ τοι καὶ χεῖρες καὶ δάκτυλοι τοῦ Θεοῦ, κατὰ τοὺς ἁγίους Πατέρας, ὁ Λόγος αὐτοῦ
f 152v καὶ τὸ Πνεῦμα, ὡς δι' αὐτῶν ἐργαζομένου. Ὥσπερ οὖν μία ‖ φύσις καὶ ἐνέργεια χειρῶν καὶ τοῦ λοιποῦ σώματος, οὕτω καὶ ἐπὶ τῆς Ἁγίας Τριάδος καταλλήλως. Ἀλλ' ὅπερ παρά τινος ἤκουσα, οὐδὲ βουλόμενος δύναμαι σιωπῆσαι. Ἔφη γάρ μοι περί τινος ἱερέως ὅτι βαδίζοντός ποτε αὐτοῦ ἐξ ἀγροῦ μετὰ ὀναρίου ἔφθασεν αὐτόν τις Ἀγαρηνὸς καὶ ἦν αὐτῷ συνοδεύων καὶ συνομιλῶν μέχρι τινός. Οὕτω γοῦν αὐτῶν συνοδοιπορούντων, ὡς εἰκὸς ἐν τοῖς τοιούτοις συμβαίνει πολλάκις, ἐρωτᾷ τὸν ἱερέα ὁ Ἀγαρηνὸς καὶ φησί. Πῶς ἑνὸς ὄντος τοῦ Θεοῦ, ὑμεῖς οἱ χριστιανοὶ τρία τοῦτον ὑπολαμβάνετε; Ὁ δὲ μάλα εὐφυῶς οὐ μακροῦ ἐδεήθη τοῦ ὑποδείγματος, ἀλλ' ἐκ τοῦ σύνεγγυς αὐτὸν ἐπληροφόρησε. Δείκνυσι γὰρ αὐτῷ τὸν ἐν χερσὶ λύγον, μεθ' οὗ τὸν ὄνον ἤλαυνε, καὶ φησί. Οὐχ ἓν ἐστὶν οὗτος ὁ λύγος; Ὁ δὲ συνέθετο οὕτως ἔχειν. Τὶ οὖν, φησίν, οὐκ εἰς τρία διῄρηται, εἴς τε τὸν φλοιὸν καὶ τὸ ξύλον καὶ τὴν ἐντεριώνην; Ὁ δέ, δήπουθεν τοῦτο δῆλον καὶ τῷ τυφλῷ. Καὶ ὁ ἱερεύς, μὴ δύναται ἕτερον ἄνευ τοῦ ἑτέρου συνίστασθαι ἢ αὐξάνειν; Ὁ δέ, ἥκιστα. Καὶ πῶς γάρ, ὧν μία ἡ φύσις; Καλῶς ἔκρινας, ἔφη ὁ ἱερεύς, ὅτι ἓν ἐστι τῇ φύσει, εἰ καὶ τρισὶν ἐν ὑποστάσεσι γνωρίζεται, καὶ ἄνευ τοῦ ἑτέρου οὐδὲ τὸ ἕτερον πεφυκέναι δύναται. Ἀμέλει καί τινες δρυτόμοι τὸν φλοιὸν ἔξωθεν ἔσθ' ὅτε περιάραντες μετὰ βραχὺν χρόνον ἅπαν τὸ δένδρον κατέβαλον ξηρανθέν. Οὕτω δὴ ἀναλόγως καὶ ἐπὶ Θεοῦ νοεῖν δεῖ, ἕνα μὲν εἶναι τῇ οὐσίᾳ, ἐν τρισὶ δὲ ὑποστάσεσι χαρακτηρίζεσθαι, τὸν αὐτὸν ἀδιαίρετον τοῖς φυσικοῖς ἰδιώμασι καὶ διαιρούμενον τοῖς ὑποστατικοῖς καὶ ἐνεργοῦντα ἁπλῇ τῇ ἐπιβολῇ ἐν τοῖς τρισί. Τούτων μεταξὺ διαλεχθέντων διηρέθησαν ἀπ' ἀλλήλων. Καὶ Σαμψὼν μὲν πάλαί ποτε διὰ τῆς ὀνικῆς σιαγόνος καὶ τοὺς πολεμίους ἀνεῖλε καὶ ἑαυτὸν δικαιώματα ἀνεκτήσατο· οὗτος δὲ διὰ τῆς μικρᾶς παραφυάδος, μεθ' ἧς τὸν ὄνον ἤλαυνε, καὶ τὸν προσβαλόντα
f 153r αὐτῷ ἀνταγωνιστὴν ‖ ἐφίμωσεν καὶ ἑαυτὸν ἐδικαίωσεν. Ἐγὼ δὲ καὶ

[8]) ἐν τῇ κάτω ῷᾳ: ὁ μὲν Δαυῒδ φησί. «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν» καὶ τὰ ἑξῆς. Ἐν τῷ Ὠσηὲ φησίν. «Ἐγὼ Κύριος ὁ Θεὸς στερεῶν οὐρανὸν καὶ κτίζων γῆν, οὗ αἱ χεῖρες ἔκτισαν στρατιὰν οὐρανοῦ».

ΙΩΑΝΝΙΝΑ 2006

ἐκ τούτου ἰνδάλματά τινα περὶ ἧς ἔφην εἰκόνος καταλαμβάνω. Εἰσὶ γάρ τινες τῶν ἐμπείρων, οἵτινες ἐπὰν ἴδωσιν ἢ τὸν φλοιὸν μόνον ἢ τὸ ξύλον τινὸς τῶν δένδρων, καταλαμβάνουσι τίνος δένδρου ὁ φλοιὸς ἢ τὸ ξύλον, εἰκόνα ποιούμενοι τὴν μίαν ὑπόστασιν τῶν ἑτέρων δύο, οὐ τρεῖς εἰκόνας νοοῦντες ἐπὶ τοῦ φυτοῦ, ἀλλὰ μίαν· ὅτι εἰ καὶ τρεῖς αἱ ὑποστάσεις, ἀλλὰ μία ἡ φύσις τούτων. Οὕτω δεῖ καὶ ἐπὶ Θεοῦ ὡς ἐν παραδείγματι νοεῖν, ὅτι εἰκών ἐστιν ἡ μία τῶν τριῶν ὑποστάσεων τῶν λοιπῶν δύο ὑποστάσεων. Ἀλλ᾽ εἰ καὶ ἕκαστον εἰκὼν λέγεται, ἀλλὰ μία νοεῖται διὰ τὴν φύσιν. Καὶ ὥσπερ ἀδύνατον τὸν φλοιὸν τῆς συκῆς εἰκόνα γενέσθαι τῆς ἀμπέλου ἢ τῆς πλατάνου, καὶ τὸ τῆς λεύκης ξύλον εἰκόνα γενέσθαι τῆς ὄγχνης ἢ αἴγειρος ἄγνου, οὕτως ἀδύνατον ἑτέραν φύσιν γενέσθαι εἰκόνα τῆς θείας φύσεως, εἰ μὴ καθ᾽ ὁμοίωσιν. Καὶ ὥσπερ διὰ τῶν φυσικῶν ἰδιοτήτων καὶ ποιοτήτων πολλάκις τινὲς τὴν οὐσίαν τοῦ ξύλου καταλαμβάνουσι καὶ εἰκὼν αὐτοῖς κἂν τούτῳ γίνεται ἡ τοῦ φυτοῦ ποιότης, οὕτω καὶ ὁ Θεὸς διὰ τῶν οἰκείων ἐνεργειῶν καὶ φυσικῶν ἰδιωμάτων χαρακτηρίζεται νοερῶς. Καὶ ὥσπερ ἀδύνατον διὰ τῆς ποιότητος καὶ ὀσμῆς τῆς πεύκης καταλαβεῖν τὴν ἐλάτην ἢ διὰ κυπαρίσσου τὴν κέδρον καθ᾽ ὁμοίωσιν μέντοί γέ τινα, οὕτω καὶ ἐπὶ Θεοῦ κατ᾽ εἰκόνα μὲν αὐτοῦ καὶ ἐν εἰκόνι γενέσθαι τὸν ἄνθρωπον μανθάνομεν, εἰκόνα δὲ αὐτοῦ φυσικὴν εἶναι τὰ ἐξ αὐτοῦ, ὡς ἐν τοῖς αὐτοῖς φυσικοῖς ἰδιώμασιν γνωριζόμενα. Καὶ ὥσπερ ἀδύνατον ἐπὶ τοῦ φυτοῦ μεταβληθῆναι τὰς ὑποστάσεις, ἤτοι ἑτέραν εἰς ἑτέραν ἀμειφθῆναι, εἰ καὶ μία ἡ φύσις, οὕτω πάντη τε καὶ μᾶλλον ἀδύνατον καὶ οὐκ ἐνδεχόμενον ἐπὶ τοῦ ἀναλλοιώτου Θεοῦ. Μεταβαλλομένων γὰρ τῶν ὑποστάσεων οὐχ ὁ αὐτὸς διαμενεῖ, οὔτε ἡ αὐτὴ ἐν αὐτῷ εἰκών. Ἀλλ᾽ οὕτω μὲν ἐπὶ Θεοῦ φυσικὴ ἡ εἰκὼν καὶ οὐχ ὑποστατικὴ || διὰ τὸ ἀμετάπτωτον καὶ ἀμερὲς τῆς φύσεως καὶ ἑνωτικὸν f 153v
τῶν ὑποστάσεων. Ἐπ᾽ ἀνθρώπων δὲ ὑποστατικὴ διὰ τὰ συμβεβηκότα, οὐ φυσικὴ δὲ διὰ τὸ πολυμερὲς καὶ γνωμικὰ θελήματα. Εἰ γὰρ καὶ ἐν παντὶ ἀνθρώπῳ ἡ αὐτὴ φύσις, ὡς τὰ αὐτὰ δυναμένη, ἀλλὰ διὰ τὴν χάριν τοῦ αὐτεξουσίου οὐχ ἡ αὐτὴ ἐν ἅπασι θεωρεῖται. Ὅθεν οὐδὲ ἄνθρωπος ἀνθρώπου φυσικὴ εἰκών. Ἐνδέχεται δὲ γενέσθαι προαιρετικήν, διὰ τὴν τῶν ἔργων δῆλα δὴ καὶ τρόπων ταὐτότητα, καθ᾽ ὃ καὶ Παῦλος Ρωμαίοις γράφων φησίν, ὅτι «οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς». Καὶ Γαλάταις, «γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς», ἤγουν τέλειοι πρὸς τὴν πίστιν, μὴ χωλαίνοντες ἐπ᾽ ἀμφο-

34) Ῥωμ. 8,29  36) Γαλ. 4,12

τέραις ταῖς ἰγνύαις. Ἤμην γὰρ φησί ποτε καὶ αὐτὸς οὕτω διακείμενος, ὡς ὑμεῖς νῦν, ἢ ὅτι γέγονα καὶ αὐτὸς πρότερον ὡς ὑμεῖς, δοκῶν δῆλον ὅτι ὑμῖν τὰ αὐτὰ φρονεῖν, ἵνα ὑμᾶς ποιήσω ὡς ἐμαυτόν, ἢ ἀντὶ τοῦ γίνεσθε ὡς ἐγὼ καὶ μὴ σκήπτεσθε ὅτι οὐ δύνασθε· κἀγὼ γὰρ ἄνθρωπος ὡς ὑμεῖς, ἀλλ' ὅμως ἠδυνήθην ταχέως ἀποσεῖσαι πᾶσαν τὴν νηπιότητα. Ἐπεὶ δὲ ἀκμὴν ἐδέοντο νουθεσίας, διαστραφέντες ὑπὸ τῶν αἱρετικῶν, φησί. «Τεκνία μου, οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Οὐδὲν οὖν ἐλλιπὼν ὅσα πρὸς τὴν εὐθεῖαν ἀγόντων ὁδόν, ἐπάγει· «τοῦ λοιποῦ κόπους μοι μηδεὶς παρεχέτω· ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω». Οἶδας ὅπως ἡ εἰκὼν κατασκευάζεται; Ὅρα λοιπὸν καὶ ὅπως μάλιστα τὴν γνησιότητα Ἐφεσίοις γράφων φησί. «Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου». Ἐνταῦθα καὶ τὴν οἰκονομίαν ὑπογράφει, καὶ τὴν ἀπειρίαν τῆς θείας φύσεως. Ἄνθρωπος γὰρ γέγονε δι' ἡμᾶς, ἵνα Ἰουδαίους τέ καὶ Ἕλληνας συνάψῃ καὶ ἐν ἑαυτῷ || κτίσῃ εἰς ἕνα καινὸν ἄνθρωπον, ἐπ' ἔργοις δῆλον ὅτι ἀγαθοῖς, αὐτὸς γενόμενος θεμέλιος τοῦ οἴκου καὶ ἀκρογωνιαῖος λίθος καὶ κεφαλὴ τοῦ σώματος. Εἰ καὶ πρότερον κτίστης τῆς φύσεως ἐγένετο, ἀλλὰ νῦν οὐ μόνον κτίστης, ἀλλὰ καὶ κτίσμα καὶ μέρος τῆς ἐκκλησίας τὸ κυριώτατόν τε καὶ ἡγεμονικώτατον. Εἰκότως οὖν πλήρωμα τοῦ Χριστοῦ καλεῖ ὁ Ἀπόστολος τοὺς πιστούς. Εἰ γὰρ μὴ ἐπέγνωμεν αὐτὸν πιστεύσαντες ἐφ' ᾧ τὴν ἐν σαρκὶ οἰκονομίαν ἐπραγματεύσατο, ἀπλήρωτος ἡ οἰκονομία καὶ ἀσυντελής, ἀποτυχοῦσα τοῦ δι' ὅπερ ἐγένετο, καὶ πῶς ἂν τὸ κατ' ἐπίνοιαν συνέστη πλήρωμα τοῦ σώματος; Διὸ καὶ μετά τινά φησι. «Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ». Καὶ πανταχοῦ σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους καλεῖ τοὺς πιστούς, δεικνὺς ὅτι αὐτῷ συνηρμολογήθημεν, κεφαλῇ τυγχάνοντι καὶ χρὴ πολλὴν τὴν ἐπιμέλειαν καὶ ἀκρίβειαν ἐπιδεικνύναι, ὅπως οἰκεῖοι εὑρεθῶμεν αὐτῷ καὶ μὴ ἄχρηστοι εἰς τὸ πλήρωμα τοῦ σώματος. Ἵνα δὲ μὴ ἁπλῶς ἕνα ἐξ ἡμῶν αὐτὸν ὑπολάβωμεν διὰ τῶν ῥηθέντων, τὸ πλήρωμά φησι τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου. Εἰ γὰρ καὶ πλήρωμα ἡμεῖς αὐτοῦ, ἀλλ' αὐτὸς ὡς Θεὸς ὑπερπλήρης ὢν καὶ παντέλειος τὰ πάντα πληροῖ καὶ ἐν πᾶσι πλήρης ἐστὶ καὶ οὐ μέρος. Οὐκ ἄλλως τοίνυν γινόμεθα σῶμα Χριστοῦ μὴ εἰ μὴ τὰ δοκοῦντα

¹) Γαλ. 4,18 ⁹) Γαλ. 6,17 ¹²) Ἐφ. 1,22 ²⁵) Ἐφ. 4,13

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτῷ πληρῶμεν. Ἐπεὶ καὶ τὸ λοιπὸν σῶμα ἐπὰν νεύσῃ ἡ κεφαλὴ φέρεται, αὐτὸν ἔχοντες ὑπόδειγμα τοῦ εὐσεβοῦς βίου καὶ τῶν θεαρέστων πράξεων. Ὥσπερ γάρ, φησίν, ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Ὥστε οὔτε γυνὴ κεφαλὴν ἔχει τὸν ἄνδρα, ἀντίθετος αὐτῷ οὖσα, οὔτε ἀνὴρ τὸν Χριστόν, μὴ ὑποτασσόμενος αὐτῷ. Κατ' ἐπίνοιαν γάρ, ‖ ὡς ἔφημεν, καὶ f 154v ἐν μυστηρίῳ συναπτόμεθα Χριστῷ καὶ διαιρούμεθα αὐτοῦ μετὰ τὴν συναφήν, πράγματι πρὸ τοῦ διῃρημένοι τυγχάνοντες. Εἰ δὲ σῶμα Χριστοῦ ὁ κατὰ Θεὸν ἄνθρωπος, δῆλον ὅτι καὶ εἰκών, καθὼς ἐν τῇ πρὸς Κορινθίους δείκνυσι λέγων. «Θέλω ὑμᾶς εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστὸς ἐστι, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ, κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός. Πᾶς ἀνὴρ προσευχόμενος ἢ προφητεύων κατὰ κεφαλῆς ἔχων καταισχύνει τὴν ἑαυτοῦ κεφαλήν. Πᾶσα δὲ γυνὴ προσευχομένη ἢ προφητεύουσα ἀκατακαλύπτῳ τῇ κεφαλῇ, καταισχύνει τὴν κεφαλὴν ἑαυτῆς. Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλήν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· γυνὴ δὲ δόξα ἀνδρός ἐστιν. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός, ἀλλὰ γυνὴ ἐξ ἀνδρός». Θεὸν δὲ ἐνταῦθα τὸν Υἱόν φησι· εἴωθε γὰρ ὁ Ἀπόστολος, ὅταν μὲν ἰδίως τι περὶ τοῦ Υἱοῦ λέγῃ Θεὸν αὐτὸν καλεῖν, ὅταν δὲ μετὰ τοῦ Πατρός, Κύριον καὶ οὐ Θεόν, ἵνα μὴ δῆθεν δύο Θεοὺς συνάψῃ τῷ κηρύγματι. Ἀρκεῖ δὲ αὐτὸ εἰς δεῖγμα τοῦ εἶναι Θεὸν ἡ κυριότης. Κύριος, γάρ φησιν, ὄνομα αὐτῷ, καὶ τό εἶναι Υἱὸν Θεοῦ. Ἀλλ' ὅτι οὐδὲ ἧττων τῷ Πατρὶ κατὰ τὴν οὐσίαν ἐν τῇ πρὸς Τίτον ἐπιστολῇ σαφῶς ἐδήλωσε λέγων. «Ἀπεκδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ».

Εἰ οὖν μέγας, οὐχ ἧττων τοῦ Πατρός. Ὅτι δὲ κἀνταῦθα Θεὸν τὸν Χριστὸν ὠνόμασε, δῆλον καὶ ἐκ τοῦ εἰπεῖν αὐτὸν κεφαλήν. Εἶτα αἰσχύνην εἶναι κατὰ τὸ δοκοῦν τῆς κεφαλῆς, ἤτοι τοῦ Χριστοῦ, τὸν ἄνδρα τὸ ἔχειν κατὰ κεφαλῆς εὐχόμενον ἢ προφητεύοντα· ὡσαύτως καὶ τὴν γυναῖκα μὴ ἔχουσαν κατὰ κεφαλῆς αἰσχύνην εἶναι τῆς κεφαλῆς αὐτῆς ἤτοι τοῦ ἀνδρός. Ἡ γὰρ ἀτιμία τοῦ λοιποῦ σώματος καὶ ἐπὶ τὴν κεφαλὴν ἀνατρέχει. Εἰ οὖν τὰ τῆς αἰσχύνης περὶ Χριστοῦ καὶ τοῦ ἀνδρὸς εἴρηται, δῆλον ὅτι καὶ τὰ τῆς δόξης. Εἰ δὲ τὰ τῆς δόξης, δῆλον ὅτι καὶ τὰ τῆς εἰκόνος, καὶ ἄλλως οὐκ ἐνδέχεται. Περὶ δὲ τῆς γυναικὸς οὐκ εἶπεν εἰκόνα, ὡς ἑπομένου τούτου καὶ νοουμένου ‖ καὶ f 155r

10) Α΄ Κορ. 11, 3-8. 16) Ἐν τῇ φα: ἑρμηνεία τοῦ εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων 25) Τίτ. 2,13.

1) ἔβα νεύκει N

Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἄνευ τοῦ εἰπεῖν· τὰ γὰρ αὐτὰ δύναται τῷ ἀνδρί. Περὶ δὲ τῆς κεφαλῆς τοῦ Χριστοῦ οὐκ εἶπεν αἰσχύνην· πάντοτε γὰρ εἰς δόξαν Θεοῦ ὁ Υἱὸς αὐτοῦ. Ἐπεὶ οὖν οὐ περὶ αἰσχύνης ἔφη, διὰ τοῦτο οὐδὲ περὶ δόξης οὔτε περὶ εἰκόνος· εἴρηκε δ' οὖν ὅμως ἐν ἑτέροις. Ἐπεὶ δὲ ἡ γυνὴ ὁμοούσιος τῇ αὐτῆς κεφαλῇ, ἤτοι τῷ ἀνδρί, ὡς τὰ αὐτὰ δυναμένη, πρόδηλον ὅτι καὶ ὁ ἀνὴρ ὁμοούσιος τῷ Χριστῷ κατὰ τὸ ἀνθρώπινον, κεφαλῇ αὐτοῦ τυγχάνοντι. Καὶ ἐπείπερ ἡμεῖς ὁμοούσιοι τῷ Χριστῷ καὶ τὰ αὐτὰ δυνάμεθα, καὶ κατὰ τοῦτο ἡμεῖς μὲν εἰκών, αὐτὸς δὲ κεφαλή, δῆλον ὅτι καὶ ὁ Χριστὸς κεφαλὴν ἔχων τὸν Θεόν, εἰκὼν δὲ αὐτὸς τούτου ὑπάρχων, ὁμοούσιός ἐστι τῷ Θεῷ καὶ τὰ αὐτὰ δύναται. Θεὸς ἄρα καὶ ἄνθρωπος ὁ Χριστός. Ὅτι δὲ τὰ αὐτὰ δυνάμεθα τῷ Χριστῷ, εἴπερ σπουδαῖοι ὀφθῶμεν, αὐτοῦ ἐστιν ἡ φωνή. «Ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ ποιήσει καὶ μείζονα τούτων ποιήσει». Μείζονα δέ, ὅταν ὁ καιρὸς ἀπαιτῇ, πλὴν τῇ δυνάμει τῆς κεφαλῆς. Εἰ οὖν ἐνδέχεται μείζονα ποιεῖν, δῆλον ὅτι καὶ ἥττονα, κατά τε τὴν σπουδὴν ἑκάστου δῆλα δή, καὶ ὡς τὰ πράγματα καὶ ὁ καιρὸς ἀπαιτεῖ.

Καθ' ὅσον τοίνυν ἕκαστός τινα μιμεῖται, κατὰ τοσοῦτον καὶ ἡ εἰκὼν αὐτοῦ ἐν αὐτῷ δείκνυται, εἴτε ἐπ' ἀγαθῶν εἴτε καὶ ἐπὶ πονηρῶν. Κατασκευάζεται δὲ ἡ τοιαύτη εἰκὼν ἐξ ἀμφοτέρων τῶν μερῶν, ψυχῆς λέγω καὶ σώματος. Γίνεται δὲ καὶ ψυχικὴ εἰκών, ἥτις γραπτὴ τῇ περιγραπτῇ καθέστηκεν, εἰ καὶ νοερὰ τῇ σχέσει δοκεῖ. Αὗτη δέ εἰσι τὰ συγγράμματα, ὑποδεικνύοντα τὴν ἑκάστου σοφίαν καὶ σύνεσιν, εἴτε καὶ πονηρίαν καὶ σκαιότητα. «Ὁ ἀγαθός, γάρ φησιν, ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά, καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει πονηρά». Καὶ τοῦτο πολλοὺς οὐ μόνον τῶν θύραθεν, ἀλλὰ δὴ καὶ τῶν καθ' ἡμᾶς διδασκάλων ἴδοι τις ἂν βεβαιοῦντας, καθ' ἃ δὴ καὶ ὁ μέγας Βασίλειος ἐν τῇ εἰς Μάξιμον τὸν f 155v φιλόσοφον ἐπιστολῇ προοιμιαζόμενος φησὶ γάρ. || «Εἰκόνες τῶν ψυχῶν εἰσιν οἱ λόγοι· κατεμάθομεν οὖν σε διὰ τοῦ γράμματος ὅσον φασὶν ἐξ ὀνύχων τὸν λέοντα». Τοῦτο καὶ Λουκᾶς ἐν ταῖς Πράξεσιν τῶν Ἀποστόλων αἰνίττεται περὶ τοῦ εὐνούχου τῆς Κανδάκης λέγων. «Καθήμενος ἐπὶ τοῦ ἅρματος ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν», τὸ τοῦ προφήτου βιβλίον οὕτω καλῶν, ὡς εἰκόνα αὐτοῦ. Καὶ ὁ Χριστός, «ἔστιν ὁ κατηγορῶν

12) Ἰωάν. 14, 12. 22) Ἐν τῇ ὦᾳ: δῆλον ὅτι ἡ τῆς ψυχῆς εἰκὼν καὶ γραφομένη μένει νοερὰ κατὰ τὴν διάνοιαν, διὸ καὶ κιβδηλοῦται πολλάκις διὰ τῆς γραφῆς, ὡς τινος σώματος περικειμένη τῷ νοΐ 24) Ματθ. 12,35 32) Πράξ. 8, 28 34) Ἰωάν. 5, 45

Ε.Υ.Δ. ... τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὑμῶν Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε· εἰ γὰρ ἐπιστεύσετε Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε ;» Καὶ ἐν ἑτέρῳ. «Ἔχουσιν Μωσέα καὶ τοὺς προφήτας· ἀκουσάτωσαν αὐτῶν». Τιμιωτέρα δὲ τοιαύτη εἰκὼν τῆς σωματικῆς, καθ' ὅσον ὑπερτέρα ψυχὴ σώματος, καθ' ἅ φησιν ὁ Χρυσόστομος Ἰωάννης ἔν τινι λόγῳ τῇ μεγάλῃ Δευτέρᾳ. «Εἰ γὰρ εἰκόνα τις ἄψυχον ἀναθεὶς παιδὸς ἢ φίλου νομίζει παρεῖναι ἐκεῖ ἐκεῖνον τὸν ἀπελθόντα, καὶ διὰ τῆς εἰκόνος αὐτὸν φαντάζεται τῆς ἀψύχου, πολλῷ μᾶλλον ἡμεῖς διὰ τῶν θείων Γραφῶν τῆς τῶν Ἁγίων ἀπολαύομεν συνουσίας οὐχὶ τῶν σωμάτων αὐτῶν, ἀλλὰ τῶν ψυχῶν τὰς εἰκόνας ἔχοντες· τὰ γὰρ παρ' αὐτῶν εἰρημένα, τῶν ψυχῶν αὐτῶν εἰσιν εἰκόνες». Κἀνταῦθα τοῦτο δῆλον, ὅτι μυριάκις ἂν εἵλετό τις καταπατηθῆναι αὐτοῦ τὴν εἰκόνα τὴν σωματικὴν ἢ καὶ αὐτὸ τὸ σῶμα μᾶλλον, ἢ τὰ συγγράμματα αὐτοῦ διαβληθῆναι κἂν ποσῶς. Ὡς ἐπὶ τῶν προφητῶν καὶ ἀποστόλων καὶ τῶν λοιπῶν διδασκάλων ὁρῶμεν, πολλὰ παθόντων τὰ σώματα, ἵνα τὴν αὐτῶν διδασκαλίαν τηρήσωσιν. Ἀλλὰ κιβδηλοῦται ἡ τοιαύτη εἰκὼν ἐνίοτε. Εἰσὶ γὰρ οἵτινες ὡς ἔχουσι καὶ εἰσίν, οὕτω καὶ γράφουσιν· οὗτοι τὴν εἰκόνα τηροῦσιν ἀκίβδηλον, διὸ καὶ ὑπερκινδυνεύουσιν εἰ δέον ὑπὲρ τῶν συγγραμμάτων. Ἕτεροι δὲ διὰ δόξαν ἀνθρωπίνην πάντα ποιοῦσι· διὸ καὶ ἐλέγχονται, εἴπερ συμβῇ αὐτοῖς ὁπωσδήποτε θλίψις· || καταφρονοῦσι γὰρ τῶν συγ- f 156r
γραμμάτων ἐν τῷ τοιούτῳ καιρῷ, ὡς ἀλλοτρίας εἰκόνος ἢ κυήματος. Εἰσὶ δὲ καὶ μέσοι τούτων οἵτινες οὔτε διὰ δόξαν καὶ τιμὴν ἀνθρωπίνην γράφουσιν, οὔτε μὴν ὡς ἔχουσι, ὑπὸ τῆς προλήψεως τῶν παθῶν τυραννούμενοι· γράφουσι δ' ὅμως δι' αὐτὸ τὸ δοκοῦν ἀγαθόν· οἷοι ἐσμὲν ἡμεῖς. Ἐπὶ δὲ Θεοῦ οὐκ ἐνδέχεται κἂν τούτῳ γραπτὴν εἰκόνα λογίσασθαί τινα. Ἃ γὰρ ἔφη τοῖς προφήταις οὐκ ἰσσόρροπα τῆς σοφίας αὐτοῦ, ἀλλὰ καθ' ὅσον ἠδύναντο χωρεῖν. «Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί». Οὕτω γὰρ ἔφη ὁ Ἀπόστολος, ἑτέραν σύγκρισιν μὴ εὑρίσκων οἰκειοτέραν μέσον Θεοῦ καὶ ἀνθρώπων. Οὐκοῦν πάντα ἐν σοφίᾳ ποιεῖ ὁ Θεὸς καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. Οὔτε ἡ εἰκὼν αὐτοῦ ἐκτὸς αὐτοῦ περιγραφομένη, ἀλλ' ἐν αὐτῷ ὡς ἀπεριγράπτῳ κατὰ πᾶσαν νόησιν.

---

4) Λουκ. 16, 29  28) Α' Κορ. 1,25 σχόλιον ἐν τῷ περιθωρίῳ : λέγεται κατὰ τὸ δοκοῦν τοῖς ἀμυήτοις καὶ ὁ σταυρὸς καὶ ἡ ἐκλογὴ τῶν μαθητῶν μωρία.

ΙΩΑΝΝΙΝΑ 2006